ἐπιχειρήσωσι, μηδὲν ὅλως τὸν ἀριθμὸν τῆς Τριάδος ὑποτεμνόμενοι, οὐδ' οὕτως εὑρίσκουσιν ἀποφυγὴν τοῦ μὴ οὐχὶ τὴν ἴσην δοῦναι δίκην»· οὐδὲν γὰρ ἧττον οὐδ' οὗτοι τὸ δεσποτικὸν προπηλακίζουσι δόγμα. Οὐδ' ἂν τὰς μὲν κλήσεις φυλάττωσιν, ὡς παρέλαβον, τὸ σχῆμα δὲ τῆς ἐν τῷ βαπτίσματι καταδύσεως μὴ συνδυάσωσιν, ἀλλὰ διὰ μιᾶς ἀντὶ τῶν τριῶν τὸν βαπτιζόμενον τελειώσωσιν, μᾶλλον δὲ εἰπεῖν οἰκειότερον συντελέσωσιν 1). Οὐδ' ἂν τὰ μὲν ἄλλα τῆς ἐντολῆς ἐκτελέσωσιν, εἰς δὲ τὸν θάνατον τοῦ Κυρίου βαπτίσωσιν, οὐμενοῦν, τῆς αἰτίας οὐκ ἀπολύονται, τῷ δ' αὐτῷ περιπίπτουσι καὶ κρίματι καὶ ἐγκλήματι· ἡ γὰρ ἐν τοῖς ὁμοίοις παράβασις, τὴν ὁμοίαν τιμωρίαν εἰσπράττεται· καὶ γὰρ ἐπίσης πρὸς τὴν ἀθέτησιν ἀποκλίνουσι τῆς σεβασμίας 2) ἐντολῆς, καὶ ὅσοι καθ' ἕτερόν τινα τρόπον βαπτίζειν ἐτόλμησαν, καὶ ὅσοις ἔδοξε τῇ ἐπικλήσει τοῦ Χριστοῦ, ἢ τοῦ θανάτου αὐτοῦ, ἱερουργεῖσθαι τὸ βάπτισμα.

§. κ'. Ἀκούεις ὦ Παῦλε; ἀλλ' ἀνάσχου καὶ μετὰ στεφάνους πρὸς ἀγῶνας ἀποδύεσθαι. Πάλιν πορθεῖς τὴν Ἐκκλησίαν; πάλιν ἐπιστολὰς παρὰ τῶν ἰουδαϊκῶν ἀρχιερέων λαμβάνεις; μετὰ δὲ τὸν Παῦλον εἰς Σαῦλον ἐξέστης; καὶ πῶς ταῦτα διδάξας, πάλιν λέγεις εἰς τὸν θάνατον τοῦ Χριστοῦ πάντας βαπτίζεσθαι; καὶ νῦν μετὰ τῶν συναποστόλων καὶ συναγωνιστῶν ποινὰς τοὺς καθ' ἕν τι τούτων βαπτίζειν τολμῶντας ἀπαιτεῖς, νῦν δὲ καθ' ἑαυτὸν γενόμενος, οὐ μόνον λέγεις, οὐδ' ἐν γωνίᾳ, ἀλλὰ καὶ κηρύττεις, καὶ οὐχὶ κηρύττεις μέν, οὐ γράφεις δέ, ἀλλὰ καὶ γράμματι τὸ κήρυγμα Ῥωμαίοις μάλιστα γράφων, εἰς ἄμαχον ἐπαίρεις ἰσχὺν εἰς τὸν θάνατον Χριστοῦ τοὺς βαπτιζομένους βαπτίζεσθαι; Ἀλλ' ὁ μὲν τῆς ἀληθείας κῆρυξ τοὺς εἰσάγοντας τοῦ βαπτίσματος τὴν καινοτομίαν, κἀκεῖνον αὐτὸν ἐπιψηφίζεσθαι τῇ δόξῃ κατηγοροῦντας, ὧδε ἂν αὐτοὺς ἐπιστομίσειεν.

§. κά. Ναί, φησίν, ὁμολογῶ μὲν τοὺς βαπτισθέντας εἰς τὸν θάνατον τοῦ Χριστοῦ βαπτίσασθαι, οὐχ ὁμολογῶ δὲ τὸ βάπτισμα τῇ τοῦ θανάτου αὐτοῦ ἐπικλήσει ἱερουργεῖσθαι, μὴ γένοιτο, ἀλλὰ τελεῖσθαι μὲν τοῦτο τὸ δῶρον τῆς ἀφέσεως, ὡς αὐτὸς ὁ σωτὴρ παραδέδωκεν, εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, σύμβολον δ' εἶναι τοῦτο τοῦ θανάτου αὐτοῦ, διὰ τῆς τριττῆς καταδύσεώς τε καὶ ἀναδύσεως τὴν τριήμερον αὐτοῦ ταφὴν καὶ ἀνάστασιν εἰκονίζον τε καὶ διατυπούμενον. Διὸ καὶ οὐχ ἁπλῶς εἶπον «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν», ἀλλὰ προτάξας τὸ «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν», οὕτως ἐπήγαγε τὸ «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν 3)», τῇ κατὰ συνέχειαν παραθέσει τῶν διαφόρων ἐννοιῶν τε καὶ ὀνομάτων κατὰ μηδεμίαν μὲν ἱερουργεῖσθαι τὸ βάπτισμα διδαξάμενος (ἦ γὰρ ἂν τἀναντία καὶ μάλιστα ἅμα φρονῶν τε καὶ λέγων ἑαλωκὼς εἴην), ἀλλὰ διὰ μὲν τοῦ εἰπεῖν «εἰς Χριστὸν ἐβαπτίσθημεν», τὸ 4) κατὰ τὴν αὐτοῦ μυσταγωγίαν βαπτισθῆναι παρεδήλωσα, διὰ δὲ τοῦ εἰπεῖν «εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν,» ὅτι τύπον φέρει καὶ εἰκόνα τοῦ τὴν ἀθανασίαν ἡμῖν πηγάσαντος θανάτου αὐτοῦ τὸ σωτήριον βάπτισμα· ἕτερον δὲ παντελῶς ἐστι λέγειν ταῦτα, (ὅπερ καὶ ἡμεῖς τιθέμεθα), καὶ ἕτερον τὸ λέγειν, ὅτι τῇ ἐπικλήσει τοῦ θανάτου αὐτοῦ (ὃ καταδικάζομεν) τὸ τῆς παλιγγενεσίας ἱερουργεῖται μυστήριον. Οὔκουν ἡμεῖς μετέστημεν, οὐδὲ πρὸς τὰς ἰουδαϊκὰς ἐπιστολάς, ὧν κατέγνωμεν, ἐπεστράφημεν, ἅπαξ τὰ οὐράνια δόγματα οὐκ ἐν λιθίναις πλαξίν, ἀλλ' ἐν στερροτάταις καὶ ἀθραύστοις ἐγγραφέντες τῆς ψυχῆς πίναξιν· ἐκεῖνοι δὲ μεθιστᾷν ἐπιχειροῦσι τὸν Παῦλον εἰς Σαῦλον, καὶ τὰ ἄλλα διασύρουσι, κἂν ὁμολογεῖν ἐπαισχύνονται, οἳ παρανοεῖν καὶ συκοφαντεῖν τοὺς ἐμοὺς ἐπῆλθε λόγους· ἐπεὶ τάς γε κοινὰς τῶν συναποστόλων ψήφους καὶ αὐτὸς ὁμοίως στέργων καὶ κυρῶν, τοὺς καθ' ἕτερόν τινα τρόπον βαπτίζειν ἀποτολμῶντας, καὶ μὴ κατὰ τὴν δεσποτικὴν μυσταγωγίαν, κἂν τῆς τριάδος ἰσάριθμα τὰ ὀνόματα παραλαμβάνωσι, κἂν οὐδὲν μὲν τῶν ἄλλων παραχαράττωσι, διὰ μιᾶς δὲ καταδύσεως τὸ βάπτισμα ἀπαρτίζωσι, κἂν μηδὲ τούτοις ἐνέχωνται 5), εἰς δὲ τὴν τοῦ Χριστοῦ κλῆσιν βαπτίζωσιν, ἢ εἰς τὴν τοῦ θανάτου αὐτοῦ, κἂν ἄλλην τινὰ ἐπίνοιαν ἐπινοήσωσι, καινοτομοῦσαν τὴν θείαν αὐτοῦ καὶ σωτήριον παράδοσιν, οὐδεμιᾶς ἔγω γε φειδοῦς τοὺς τοιούτους ἀξιώσαιμι· ἀλλὰ τὸν ἐφ' ἑνί τινι τῶν εἰρημένων ἁλόντα, ἤ τινι τῶν τούτοις παραπλησίων, τῆς αὐτῆς καταδίκης οὐκ ἂν ἁλῴην 6) μὴ γραφόμενος ἔνοχον· οὐ γὰρ ἡ τῆς τῶν ὀνομάτων ποιότητος ἐναλλαγὴ πρὸς τὸ μέτριον ἄγει τὸ ἔγκλημα, ἀλλὰ τῆς ἐντολῆς ἡ παράβασις τῆς αὐτῆς καταδίκης τοῖς ἐνόχοις καθίσταται πρόξενος. Ταῦτα Παῦλος τῆς ἐκκλησίας ὁ ῥήτωρ, συνηγορῶν μὲν αὐτῆς τῷ ἔθει καὶ ταῖς πράξεσι, κρατύνων δὲ τὴν σωτήριον ἐντολήν, ἐπιστομίζων δὲ τούς, ὅσοι πρὸς τοὐναντίον ῥέπειν ἐπεχείρησαν, τῶν προλαβόντων αὐτὸν εἰς τὴν ἐκλογὴν καὶ ἀποστολὴν ἐπισφραγιζόμενος τὰ ψηφίσματα. Σὺ δὲ τί λέγεις ἔτι; ἆρα δυνατόν ἐστιν ἄλλοις μὲν παράβασιν ἐγκαλεῖν, αὐτοὺς δὲ καθίστασθαι διδασκάλους τῆς παραβάσεως, καὶ λαμβάνειν μὲν παρ' ἑτέρων τῆς παραβάσεως ποινάς, ἑαυτοὺς δὲ νομίζειν ἀνευθύνους εἶναι τοῦ τολμήματος, καί τοι καὶ ὧν ἡμάρτανον ἕτεροι, εἴπερ ἡμάρτανον, ἐκείνους ἐχρῆν ὑπέχειν τὴν δίκην, ὡς τῆς αἰτίας ἀπ' αὐτῶν εἰς ἐκείνους δοθείσης; ἀλλὰ γὰρ ἱκανὰ καὶ ταῦτα οἶμαι.

---

1) Τουτέστιν ἀπολέσουσι (ψυχικῶς). «Συνετέλεσα ἀπώλεσα» (Ἡσύχ. καὶ Α. Βασιλ. ιε, 18. κτλ. Καὶ συνήθως τὸν ἐτελείωσε = ἀπέκτεινε). Οὕτω καὶ τὸ ἐξανύω (Ὁμ. Ἰλιάδ. Λ, 365). – 2) Σεβασμίου ΒΜ. – 3) Ῥωμ. ς, 3. – 4) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ὅτι ΑΡ. καὶ ΒΜ. – 5) ΒΜ. τὸ δὲ ΑΡ. ἐπέχοντα. – 6) Οὐκ ἀλοίην ΒΜ.

§. κβ'. Καιρὸς δ' ἂν εἴη συνορᾷν, δι' ὅσων τοῦ ἐξ ἀρχῆς ἀπορήματος ἐπιχειρημάτων προελήλυθεν ἡ λύσις. Πρόεισι μὲν γὰρ καθ' ἕνα λόγον, διαστελλομένων τῶν σημαινομένων τοῦ ὀνόματος, καὶ τῆς συγχύσεως διακρινομένης· ὥστε σαφῶς εἰδέναι, πότε μὲν τὸ κύριον αὐτὸ καθ' ἑαυτὸ τὸ ὄνομα σημαίνει, πότε δὲ δόξαν καὶ τιμὴν τοῦ ὀνομαζομένου, καὶ πότε τὴν διδασκαλίαν αὐτοῦ καὶ τὸ κήρυγμα. Συνεπικροτεῖ δὲ τὴν λύσιν καὶ τὸ λαβεῖν ἐπιστήμην, μὴ διὰ παντὸς ἕπεσθαι τῷ τύπῳ τῆς φωνῆς τὴν τῶν νοημάτων ὁμοιότητα· οὐδὲ γὰρ τὸ εἰς τὸν θάνατον τοῦ Χριστοῦ, οὐδὲ τὸ εἰς Χριστὸν βαπτισθῆναι λέγεσθαι, οὐμενοῦν, ἀλλ' οὐδὲ τὸ εἰς ἓν σῶμα διὰ τὸ σχῆμα τῆς φωνῆς τὴν αὐτὴν παραστήσουσι διάνοιαν· ἀλλ' ὅσον ταῦτα τῇ προφορᾷ τῶν ῥημάτων καὶ τῶν ὀνομάτων συνεγγίζει τε καὶ συσχηματίζεται, τοσοῦτον ἀπ' ἀλλήλων κατὰ τὴν τῶν νοημάτων διέστηκεν ἑτερότητα, καὶ πρὸς τούτοις ἃ ταῖς ἄλλαις ἐπιδέδεικται, τῶν ἀτόπων συνεπομένων, ἐπιλύσεσιν. Ἔτι δὲ ὅτι μηδὲ οἷόν τε ἦν τῶν μαθητῶν τὴν τοῦ διδασκάλου νομοθεσίαν καινοτομούντων, ἑτέρωθεν ἀνακτήσασθαι, ἀλλὰ καὶ [ἡ] αὐτὴ μέχρι νῦν ἐκράτει τῆς ἐντολῆς ἀθέτησις, οὐκ ἐχούσης πάροδον τῆς νυνὶ θειαζομένης τῇ ἐκκλησίᾳ καταστάσεως· καὶ ὅτι μάρτυρες τῆς τοιαύτης ἐπιλύσεως τῶν Μαθητῶν οἱ κορυφαῖοι καθεστήκασι, Πέτρος καὶ Παῦλος· καί, τὸ φρικτὸν καὶ φοβερόν, ὅτι συνοδικὴ τῶν Ἀποστόλων καὶ ἀδυσώπητος καταλαμβάνει ψῆφος τοὺς καθ' ἕτερόν τινα τρόπον βάπτισμα παρὰ τὸν τοῦ δεσπότου νόμον τολμῶντας ἐπιτελεῖν, καὶ ἀντινομοθετεῖν τῇ ἐκείνου κυριότητι. Διὰ τοῦτο καὶ ἡ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησία κατὰ διαδοχὴν τῶν ἀποστολικῶν πράξεών τε καὶ κηρυγμάτων εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτίζουσα, μετὰ τὸ καθαρθῆναι τοὺς βαπτισαμένους τῇ ἀναγεννήσει, ἐμμελεῖ τε καὶ διαπρυσίῳ εἴωθεν ὑποψάλλειν τῇ φωνῇ, «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε,» οὐδὲν ἧττον ἀνακηρύττουσα, ὅτι καθάπερ νῦν τοὺς εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον βαπτισθέντας, εἰς Χριστὸν λέγομεν βαπτισθῆναι, καὶ Χριστὸν ἐνδύσασθαι, οὕτω καὶ τῶν Ἀποστόλων ὁ χορὸς τὸ τῆς ἀναγεννήσεως λουτρὸν ἱερουργοῦντες, τῇ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐπικλήσει, βαπτίζειν ἐλέγοντο εἰς Χριστόν, καὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ τὰ παραπλήσια.

ΜΔ'. (ΒΜ. μδ'.).

Τί δηλοῖ τὸ εἰρημένον· «ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκά, καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω, καὶ τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ;» 1)

§. ά. Τὸ λευχειμονεῖν, οἷς ἡ κατὰ τὰ παλαιὰ νόμιμα πολιτεία περισπούδαστον, εὐφροσύνης ἱερᾶς καὶ ἁγιοπρεποῦς καταστάσεως παρελαμβάνετο σύμβολον· καὶ δὴ καὶ τὸ τὴν κεφαλὴν ἐλαίῳ ἀλείφεσθαι τῆς αὐτῆς τεκμήριον ἐποιοῦντο διαθέσεως· διὸ καὶ ὁ σωτὴρ 2) ἡμῶν τῆς τῶν φαρισαίων ἀπάγων ἡμᾶς μιμήσεως, ἔλεγε· «σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν ἐλαίῳ» 3), οἷον, μηδὲν σκυθρωπόν, μηδὲ κατηφὲς τῷ τῆς νηστείας κατορθώματι συνδιαπλέξῃς. Ἐπεὶ οὖν τὰ λευκὰ ἱμάτια τοῖς ἐν τῷ νόμῳ καὶ τὸ ἔλαιον ἐκόσμει μὲν τὸ σῶμα, ἐδήλου δὲ τὴν ἐν εὐφροσύνῃ κατάστασιν τῆς ζωῆς, οὕτως ἀπὸ τῶν ἐκτὸς παραδειγμάτων αὐτὴν ὁ λόγος παρακελεύεται φαιδρὰν ἔχειν καὶ ἐξωραϊσμένην τὴν ψυχήν· φαιδρύνοιτο δ' ἂν καὶ ὡραΐζοιτο, καὶ τῶν ταύτης περιβολαίων λευκῶν ὑπαρχόντων· λευκὰ δ' ἂν γίνοιντο, ἐπειδὰν τὴν καθαρότητα καὶ λαμπρότητα τῶν ἀρετῶν ἄνευ τινὸς ἐπιμελαινούσης αὐτὰ κακίας ἀποστίλβοντα εἴη, καὶ διαφανῆ, ὧν οὐκ ἔστι χωρὶς οὐδ' ἡ πρὸς τὸ θεῖον εὐσέβεια· αὐτὴ γάρ ἐστιν ἡ καὶ τὰς ἀρετὰς προβαλλομένη καὶ πηγάζουσα, καὶ τὸν ἐν ἐκείναις 4) χορὸν ἐναρμόνιόν τε καὶ σύμφωνον ἀποφαίνουσα, καὶ τὸν νυμφικὸν χιτῶνα, καὶ τῆς ἐπουρανίου παστάδος ἐπάξιον ἐξυφαίνουσα τε καὶ περιβάλλεσθαι παρασκευάζουσα τὴν ψυχήν, καὶ τῆς σωτηρίας ὑπάρχουσα πρόξενος, οἷς καὶ ἡ τοῦ ἐλαίου 5) χρῆσις μάλιστα 6) προκαταβάλλεταί τε καὶ προκαταρτίζεται· καὶ γὰρ ὁ λόγος φησὶ «καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω,» τὴν εἰς τοὺς πλησίον ἐλεημοσύνην καὶ τὸ τῆς ψυχικῆς λαμπάδος ἄσβεστον διὰ τῆς 7) γηγενοῦς τοῦ 8) ἐλαίου λιβάδος ὑπογραφόμενος, ἧς μηδέποτε ὑστερεῖσθαι ἡμῶν τὴν κεφαλὴν παρακελεύεται· οὐ γὰρ εἴ τίς ποτε ἠλέησε, τὸν ἔλεον κατορθώσατο· ἀλλ' εἴ τις πολλάκις τὸν δεόμενον ὑπερεῖδε, τὸ προλαβὸν τῆς ἀγαθοεργίας κατήγορον ἀπειργάσατο, τῆς ἀρετῆς καὶ τῆς ἐλεημοσύνης ὑπερόπτην ἑαυτὸν οὐκ ἔχων ὕβριν διελέγχεσθαι· καὶ τὸ πραχθὲν οὐκ ἀρετῆς, ἀλλά τινος διελέγχει περιστάσεως.

§. β'. Καὶ ὅρα τὸ βαθὺ καὶ περινενοημένον τῆς λέξεως, «μὴ ὑστερησάτω, φησίν, ἐπὶ τῆς κεφαλῆς σου τὸ ἔλαιον·» εἰ γὰρ καὶ πολλάκις ἠλείψατο, ἐν ᾧ, φησί, τοῦ λιπαίνεσθαι διέστη, ὑστέρημα τοῦτο τῆς ἔμπροσθεν καθίσταται πράξεως. Καὶ ἄλλως δὲ τὸ τῆς λέξεως ἐμφαντικὸν θεωρήματος εὕρεσις γίνεται· ὡς ὁ τῷ ἐλέῳ χρώμενος οὐ τοσαύτην

---

1) Ἐκκλησ. θ, 8: 6, 14. – 2) Κύριος ΒΜ. – 3) Ματθ. ς, 17. – 4) Ἡμετ. διόρθ. ἀντὶ τοῦ ἐκείναις ΒΜ. καὶ ΑΡ. – 5) Τοῦ ἐλαίου ΒΜ. – 6) Μάλιστά τε ΒΜ. – 7) Τὰ ἀπὸ «τῆς ψυχικῆς – διὰ τῆς» λείπουσιν ἐκ τοῦ ΒΜ. – 8) Λείπει τὸ τοῦ ἐκ τοῦ ΒΜ.